μάλιστα ἐρυθριῶσιν αἰσχυνόμενοι. ἐν δὲ τῷ κινήσεως, ἐπὶ τὸ αἰσθητικώτερον καὶ κινητικώτερον ἡ βοήθεια ὡς ἀδικουμένου. φοβουμένοις γὰρ ἐνταῦθα ἐκλείπει μάλιστα. δ Διὰ τί θατέρου καταληφθέντος ὀφθαλμοῦ, ὁ ἕτερος ἀτενίζει μᾶλλον; ἢ διότι ἐκ ταὐτοῦ ἤρτηνται αἱ ἀρχαὶ τῶν ὀφθαλμῶν; θατέρου οὖν κινουμένου, καὶ ἡ κοινὴ ἀρχὴ κινεῖται. ἐκείνης δὲ κινουμένης, καὶ ὁ ἕτερος. ληφθέντος οὖν θατέρου, ἡ κίνησις κινήσει αὐτόν. ὥστε δύναται ἀτενίζειν μᾶλλον. ε Διὰ τί οἱ ἐκ γενετῆς τυφλοὶ, οὐ γίνονται φαλακροί; ἢ ὅτι λυμαίνει τὰ ὄμματα ὑγρότης οὖσα πολλὴ ἐν τῷ περὶ τὴν κεφαλὴν τόπῳ; δι᾽ ὃ τῶν ῥευματικῶν εἰς τοὺς ὀφθαλμοὺς, τάς τε περὶ τοὺς κροτάφους φλέβας καίουσι, πυκνοῦντες τοὺς τῶν ὑγρῶν πόρους, καὶ ξύουσι τὴν κεφαλὴν, διατέμνοντες τὸ ἐν αὐτῇ δέρμα. ἐπεὶ οὖν λυμαίνει τοὺς ὀφθαλμοὺς τὸ ἐν αὐτῇ περίττωμα γινόμενον, κωλύοι ἂν αὐτοῖς τοῦτο τοῦτο ἐξ ἀρχῆς γίνεσθαι, πλέον συνιστάμενον ἐν αὐτῇ. ἐπεὶ δὲ ἐκ περιττωμάτων θρὶξ φύεται, τοῦτο δὲ ἐν τῇ τῶν τυφλῶν κεφαλῇ ἐκ γενετῆς ἐστὶ πολὺ, εἰκότως οὐκ εἰσὶ φαλακροί.

ϛ Διὰ τί οἱ ἐξόφθαλμοι καπνίζονται μᾶλλον; ἢ ὅτι τάχιστα περιπίπτει πρὸς τὰ προέχοντα; ζ Διὰ τί εἰς μὲν τὰ δεξιὰ ἀμφοτέρας τὰς ὄψεις ἅμα διαστρέφειν δυνάμεθα, καὶ εἰς τὰ ἀριστερὰ καὶ πρὸς τὴν ῥῖνα, καὶ εἰς τὸ ἀριστερὸν δὲ ἢ τὸ δεξιὸν τὴν ἑτέραν· ἅμα δὲ εἰς τὸ ἀριστερὸν καὶ δεξιὸν, ἀδυνατοῦμεν; ὁμοίως δὲ καὶ εἰς τὸ κάτω καὶ εἰς τὸ ἄνω. ἅμα μὲν γὰρ ἐπὶ ταὐτὸ δυνάμεθα, χωρὶς δὲ, οὔ. ἢ ὅτι αἱ ὄψεις, δύο οὖσαι, ὁμοίως ἐξ ἑνὸς συνήρτηνται; ὅσα δὲ τοιαῦτα, ἄκρου θατέρου κινουμένου, ἀνάγκη θάτερον ἀκολουθεῖν ἐπὶ τὸ αὐτό. τῷ γὰρ ἑτέρῳ ἄκρῳ, ἡ ἀρχὴ θάτερον ἄκρον. εἰ οὖν τὸ ἓν ἀδύνατον ἅμα εἰς τἀναντία κινεῖσθαι, ἀδύνατον καὶ τὰς ὄψεις. τὰ μὲν γὰρ ἄκρα εἰς τἀναντία ἀντικινοῖτο, εἰ τὸ μὲν, ἄνω, τὸ δὲ, κάτω κινοῖτο· ἡ δὲ ἀρχὴ, ἀμφοῖν ἂν ἀκολουθοίη· ὅπερ ἀδύνατον.
ἡ δὲ διαστροφὴ ἐστὶ τῶν ὀμμάτων, διὰ τὸ ἀρχὴν ἔχειν τὰς σφαίρας, καὶ μέχρι τοῦ στρέφεσθαι εἰς τὰ ἄνω καὶ κάτω καὶ [εἰς] πλάγια.

A itaque pudore maximè erubescunt. Iratis porrò præsidium in eam partem tanquam violatam transmittitur, quæ & sensu, & motu facilior est: nam & in metuendo calor eam ipsam maximè deserit. 4 Cur altero oculo apprehenso, alter constantiùs cernat? An quia oculorum initia ex eodem dependent. Cùm igitur alter mouetur, commune quoque illud mouetur initium, quo mouente, alter etiam oculus
B moueatur necesse est: quamobrem altero apprehenso, vis illa communis tota alterum mouebit: itáque pleniùs contendere poterit. 5 Quam ob causam qui cæci ab ortu naturæ sunt, calui nunquam efficiantur? An quia humor, cùm redundat in capite, oculos vehementer infestat: qua de causa quibus fluxiones oculos vrgent, venas temporum ferro candente medici tangunt, quo humoris foramina obcæcen-
C tur, atque spissescant, & caput quoque dissecta cute, obscalpere consueuere. Cùm igitur humor excrescens, vacánsque in capite oculis detrimento fit, fieri potest, vt minus humoris in caluaria ob id ipsum consistat, quia magna parte lapsus in oculos est: & cùm excrementis humorum, materiáque inutili capillus proueniat (quæ quidem in capite cæcorum ab ortu naturæ largè redundant) meritò nunquam isti calui efficiuntur. 6 Cur homines,
D qui prominentioribus sunt oculis magis à fumo infestantur? An quia fumus citissimè oculis protendentibus occursat.
7 Quam ob causam vtrunque aspectum simul diuertere dextro, sinistróque versus, & ad nares demittere atque etiam alterum dextrorsus, sinistrorsúsque deducere possimus, vtrunque verò seorsum, alterum sinistrorsus, alterum dextrorsus si-
E mul distrahere nunquam possumus: quinetiam deorsum, sursúmque haudquaquã ita conuertere licet, quanuis facultas simul dimittendi in idem detur, vt dictum est? An propterea quòd quanquam duplex aspectus sit, ex eadem tamen origine, æquo modo nexus, aptúsque dependet. Vbi autem ita est quoties alterum extremum mouetur, reliquum consequatur eodem necesse sit: alterius enim extremi princi-
F pium extremum reliquum est. Quòd si res vna simul ac eodem in tempore nunquã in partes aduersas moueri queat, nec aspectus ita moueri poterit: quippe cùm ita committatur, vt extrema in partes moueantur aduersas, siquidem alter sursum, alter deorsum mouebitur, initiúmq. sequi vtrumque necesse sit, quod impossibile est. Oculorum verò limitas euenit, quia globi cõtinentur principio, quo & sursũ & deorsũ, & latera versus lubrico sese vertere